κυδίδης πατέρα Κλέωνος εἶναι λέγει.

Σχόλια. Ἐὰν μὴ προεδρίαν φέρωσι] τιμῆς καὶ οὗτος τρόπος. ἐξῆν δὲ τοῖς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας οἵτινες ἦσαν ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίσαι. πεποίηται δὲ τὸ ὄνομα, ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. ἄλλως. ἐὰν μὴ πρότερόν φησι τοιούτου τύχωσι τινός, ἀπειλοῦσι μὴ μάχεσθαι. διὰ τούτων καθαπτόμενος ὁμοῦ τε καὶ τῶν Ἀθηναίων καὶ τῶν στρατηγῶν. τῶν μὲν Ἀθηναίων, ὡς ἀναξίοις διαδιδόντων τὰς τιμὰς καὶ τὰς δωρεάς, εἰ πρίν τι δρᾶσαι τὴν πόλιν ἀγαθόν, ταῦτα διδόασιν αὐτοῖς. τῶν δὲ στρατηγῶν, ὡς τιμωμένων πρὶν τῶν κατορθωμάτων, καὶ τῶν ἤδη τιμῆς τινος τετυχηκότων τὴν δόξαν ἀφαιρουμένων εἰ φαίνοιντο δωρεὰν λαβόντες οὐκ ἐπ' ἀνδραγαθήμασι. Καὶ τὰ σιτία.] οἱ ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινός, ἐπήγοντο σιτία. οὗτοι δέ φησιν οἱ νῦν, ἐὰν μὴ προεδρίας τινὸς τιμῆς ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ πόλεμον. σιτία γοῦν εἶπε, τὴν ἐν Πρυτανείῳ σίτησιν. Κομῶσι.] τρυφῶσι. πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπὶ τοῦ τρυφᾶν λέγεται καὶ γαυροῦσθαι καὶ μέγα φρονεῖν. ἄλλως τε καὶ τῷ θεξὶ κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς. Ἀπεστλεγγισμένοις.] κεκαρμένοις. Κινέας γὰρ καὶ Φεῖνος εἰσηγήσαντο μετὰ στῆναι τοὺς νέους, νόμον γράψαντες μηκέτι ἁβροδιαίτους εἶναι, ὃν τρόπον τὸ πάλαι, μηδὲ κομᾶν. ἢ ἀπεξεσμένοις καὶ ἐπανήκουσιν ἀπὸ ἀλείμματος. Ἀππίων δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. ἀπεστλεγγισμένοις, ἀντὶ τοῦ ἐγκεκαθαρμένοις, ματτομένοις. στλεγγὶς γὰρ ἡ ξύστρα καὶ στλεγγιζόμενος ἀποξυόμενος, καὶ ἀλλαχοῦ γῆρα. εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα. δαιταλεῦσιν. οὐδὲ γὰρ αὐτὴ στλεγγίς, οὐδὲ λήκυθος. καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. ἡ δὲ στλεγγὶς τῶν πρὸς ἄλλο τι. οὐ γὰρ πρὸς τὸ περιξύεσθαι ἄν τις αὐτῇ χρήσαιτο μόνον, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι. ἀπεστλεγγισμένοις σὺν ἀπεξεσμένοις. ἢ ἔλαιον ἀληλιμμένοις.

## ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ
*κώλων ιδ.*

Τροχαϊκοὶ δίμετροι.

Ὦ πολιοῦχε Παλλάς, ὦ
Τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε καὶ ποι-
ταῖς, δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα χώρας,
Δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
Ἐν στρατιαῖς τε καὶ μάχαις
Ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
Τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει,
Νῦν οὖν δεῦρο φάνηθι. δεῖ
Γὰρ τοῖς ἀνδράσι τοῖσδε, πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην, εἴπερ ποτέ, καὶ νῦν.

## ANTODE, ET ANTISTROPHE
*vers. 14.*

*Trochaici Dimetri.*

*Casta Minerua, quae omnium*
*Hanc celeberrimam urbium*
*Marte poëticaque habes:*
*Et valida potentia*
*Huic dominaris orae.*
*Huc ades, & simul fer huc,*
*Inque acie, inque praelio*
*Auxilij sodalem*
*Palmam: grata Chori quae comes huius,*
*Nobiscum aggreditur bello inimicos.*
*Eia huc, huc ades: his enim*
*Palmae praemia, si prius*
*Vnquam, nunc etiam, viris*
*Te concedere oportet.*

Σχόλια. Ὦ πολιοῦχε Παλλάς.] ἡ τὴν πόλιν κατειληφυῖα καὶ περιέχουσα. ἐπεὶ καὶ ἦρχε τῆς πόλεως. ἔφορος γὰρ αὐτῆς ἡ θεός. καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν αὐτῆς. ὁ δὲ νοῦς. ὦ τῆς ἁπασῶν ὑπερφερούσης καὶ ὑπερβαλλούσης χώρας μεδέουσα καὶ βασιλεύουσα ἐν δυνάμει καὶ ποιηταῖς. ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τὴν νίκην εὐμενῆ παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσε. ξυνεργὸν δὲ συμπράκτορα. σύμμαχον. Ἡ χορικῶν ἐστιν ἑταίρα.] ἡ τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. οἱ γὰρ τῆς ἀρχαίας κωμωδίας ποιηταὶ καὶ τραγικοί, χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ὁ μὲν κωμικὸς ἐξ ἀνδρῶν ἤδη καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων κδ, ὡς καὶ οὗτος ἀπηρίθμησεν ἐν ὄρνισιν. ἄρρενας μὲν ὄρνις ιβ. θηλείας δὲ ταύτας. ὁ δὲ τραγικὸς ιε. ὡς Αἰσχύλος Ἀγαμέμνονι. ἔστι δὲ ὅτε καὶ ἡμιχόρια ἵσταντο ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορός, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγ. αἱ δὲ γυναῖκες ἕνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες τεσσαρεσκαίδεκα ἦσαν. οἱ δὲ παῖδες, ἕνδεκα. εἰ δὲ πρεσβυτῶν καὶ νέων, τοὺς πρεσβύτας πλεονεκτεῖν δεῖν φασιν. ἄλλως. χορικῶν τῶν κωμικῶν καὶ τραγικῶν. ἡ γὰρ ἐνίκων ἢ ἡττῶντο οἱ ἀγωνιζόμενοι. Τοῖς τ' ἐχθροῖσι.] τοῖς ἀντιπάλοις. τοῖς ἀνταγωνισταῖς. στασιάζει δὲ ἀντὶ τοῦ πρὸς φιλονεικίαν διαφέρεται.

## ΑΝΤΕΠΙΡΡΗΜΑ
*στίχων ις.*

Τροχαϊκοὶ, τετράμετροι, καταληκτικοί.

## ANTEPIRRHEMA
*vers. 16.*

*Septenarij, Trochaici, Catalectici.*